eul_wid: rrg-bt

*Χρυσοποιὸς Α΄* · Alchemist I

# Alchemical Fragment

*Χημικὸν Ἀπόσπασμα*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

(200) Ἴωσις χρυσοῦ. λαβὼν ὄξος δρίμυ στύψον καὶ ἔχε τὸ ἅ[μα] ἁλὸς κοινοῦ < η′, στυπτηρ[ί]ας σχιστῆς < β′, λιθαργύρου < δ′, συνλείου τῷ ὄξει κ[αθ’ ἡ]μέρας γ′ καὶ ἀποσει ρώσας χρῶ. εἶτα πρόσβαλε τῷ ὄξει χαλκάνθου < α′, μ[ίσυος] ἡμιοβέλιον, χαλκίτεως η′, σώρεως ὀβολὸν ἡμιοβέλιον, ἁλὸς κοινοῦ κερά[τιον, καπ]παδοκικοῦ κεράτια β′. ποιήσας πέταλον ἔχον τετάρτας β′, πυρώσας βάπ[τε τρ]ίς ἕως λακηθῇ τὸ πέταλον· εἶτα ἄρας τὰ λακήματα ἔχε ὡς ἐξίωσιν τοῦ χρυσ[οῦ.] Ὀζεία. λαβὼν χρυσοῦ τετάρτας 〈β′〉 ποίησον πέταλον καὶ πυρώ[σα]ς βάψον εἰς χάλκαν θον τετριμμένην μετ’ ὕδατος καὶ ἄλλην ξηρὰν κόψα[ς καὶ βά]πτων τῷ ξηρῷ ἄλλοτε τῷ μεμιγμένῳ ἀπόχυε τὸν ἰὸν καὶ βάλε εἴ[σω] [Break in Text (point at which text breaks off for an unknown length)]